Οικουμενικον Πατριαρχειον Ökumenisches Patriarchat

Ἱερὰ Μητρόπολις
Αὐστρίας καὶ
Ἐξαρχία Οὐγγαρίας
καὶ Μεσευρώπης

Heilige Metropolis
von Austria und
Exarchat von Ungarn
und Mitteleuropa

Ἐπὶ τὰς Πηγὰς

Κυριακή, 27 Ἰουλίου 2025

Κυριακὴ ζ΄ Ματθαίου

Μνήμη τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος καὶ ἰαματικοῦ Παντελεήμονος.

Zu den Quellen

Sonntag, 27. Juli 2025

Siebter Matthäussonntag

Gedächtnis des hl. und ruhmreichen Großmärtyrers und Heilers Panteleimon (Pantaleon).

Ἑωθινὸν Εὐαγγέλιον Ζ' (Ἰω. κ' 1–10)

Καθίσματα

Ἦχος πλ. β΄

Τοῦ τάφου ἀνεῳγμένου, τοῦ Ἅιδου ὀδυρομένου, ἡ Μαρία ἐβόα πρὸς τοὺς κεκρυμμένους Ἀποστόλους· Ἐξέλθετε οἱ τοῦ ἀμπελῶνος ἐργάται, κηρύξατε τὸν τῆς Ἀναστάσεως λόγον. Ἀνέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Κύριε, παρίστατο τῷ τάφῳ Σου Μαρία ἡ Μαγδαληνή, καὶ ἔκλαιε βοῶσα· καὶ κηπουρόν Σε νομίζουσα ἔλεγε· Ποῦ ἔκρυψας τὴν αἰώνιον Ζωήν; ποῦ ἔθηκας τὸν ἐπὶ θρόνου Χερουβίμ; οἱ γὰρ τοῦτον φυλάσσοντες, ἀπὸ τοῦ φόβου ἀπενεκρώθησαν, ἢ τὸν Κύριόν μου δότε μοι, ἢ σὺν ἐμοὶ κραυγάσατε· ὁ ἐν νεκροῖς καὶ τοὺς νεκροὺς ἀναστήσας δόξα Σοι.

Προϊστορεῖ ὁ Ἰωνᾶς τὸν τάφον Σου, καὶ ἑρμηνεύει Συμεὼν τὴν Ἔγερσιν τὴν ἔνθεον, ἀθάνατε Κύριε· κατέβης γὰρ ὡσεὶ νεκρὸς ἐν τῷ τάφῳ, ὁ λύσας Ἅιδου τὰς πύλας· ἀνέστης δὲ ἄνευ φθορᾶς ὡς Δεσπότης τοῦ κόσμου εἰς σωτηρίαν, Χριστὲ ὁ Θεὸς ἡμῶν, φωτίσας τοὺς ἐν σκότει.

Morgenevangelium VII (Joh 20,1–10)

Kathismata

Sechster Ton

Da das Grab geöffnet war und die Unterwelt klagte, rief Maria den sich versteckenden Apostel zu: Geht hinaus, ihr Arbeiter im Weingarten, verkündet die Auferstehung. Auferstanden ist der Herr, er schenkt der Welt das große Erbarmen.

Herr, als Maria von Magdala an Deinem Grab stand, klagte sie und weinte, Dich hielt sie für den Gärtner und sprach: Wo hast du das ewige Leben versteckt? Wohin hast du Ihn, der auf dem Thron der Cherubim sitzt, gebracht? Denn die Ihn bewachten, wurden aus Angst wie tot, entweder gebt Ihr mir meinen Herrn, oder Ihr ruft mit mir: Der Du bei den Toten bist und die Toten auferweckt hast, Ehre sei Dir!

Jona sah Deine Grablegung voraus und Symeon weissagt Deine göttliche Auferweckung, unsterblicher Herr. Denn tot bist Du bis ins Grab gestiegen und hast die Pforten der Unterwelt geöffnet. Unvergänglich bist Du als Gebieter der Welt erstanden zum Heil, Christus unser Gott, und hast alle, die im Dunkeln sitzen, erleuchtet.

Ἑορτάζει σήμερον ἡ οἰκουμένη, τοὺς σεπτοὺς ἀγῶνάς σου Παντελεῆμον ἀθλητά, τὸν ζωοδότην δόξάζουσα, τὸν σὲ προστάτην θερμὸν ἀναδείξαντα.

Ἐξαποστειλάρια

Ἦχος β΄

Ὅτι ἦραν τὸν Κύριον, τῆς Μαρίας εἰπούσης, ἐπὶ τὸν τάφον ἔδραμον, Σίμων Πέτρος, καὶ ἄλλος, Μύστης Χριστοῦ, ὃν ἠγάπα, ἔτρεχον δὲ οἱ δύο, καὶ εὗρον τὰ ὀθόνια ἔνδον κείμενα μόνα καὶ κεφαλῆς ἦν δὲ τὸ σουδάριον χωρὶς τούτων· διὸ πάλιν ἡσύχασαν, τὸν Χριστὸν ἕως εἶδον.

Παντελεῆμον πάνσοφε, τῶν σεπτῶν Ἀναργύρων, τὸ ἱερὸν ἀγλάϊσμα, καὶ τῶν θείων Μαρτύρων, καὶ χριστωνύμων τὸ κλέος, οὐρανόθεν τὰς νίκας, τῷ Βασιλεῖ πρυτάνευσον, καὶ εἰρήνην τῷ κόσμῳ, καὶ τοῖς πιστῶς, σὲ ὑμνοῦσιν, Ἅγιε, σωτηρίαν, μετὰ τῆς Θεομήτορος, ὑπὲρ πάντων πρεσβεύων.

Στιχηρά Ἀναστάσιμα

Ἦχος πλ. β΄

Ὁ Σταυρός Σου Κύριε, ζωὴ καὶ ἀνάστασις ὑπάρχει τῷ λαῷ Σου· καὶ ἐπ' αὐτῷ πεποιθότες, Σὲ τὸν ἀναστάντα, Θεὸν ἡμῶν ὑμνοῦμεν· ἐλέησον ἡμᾶς.

Σὺν Πατρὶ καὶ Πνεύματι, Χριστὸν ἀνυμνήσωμεν, τὸν ἀναστάντα ἐκ νεκρῶν, καὶ πρὸς αὐτὸν ἐκβοῶμεν· Σὺ ζωὴ ὑπάρχεις, ἡμῶν καὶ ἀνάστασις, ἐλέησον ἡμᾶς.

Ἔλεος Θεοῦ μιμούμενος, Παντελεήμων σαφῶς, ὠνομάσθης κατάλληλον, προσλαβὼν τὸ ὄνομα, καὶ συμβαῖνον τῷ πράγματι· ὡς συμπαθὴς γάρ, ἐλεεῖς ἅπαντας, διπλῆν παρέχων τούτοις τὴν ἴασιν, τρέφων ἰώμενος, καὶ πρὸς γνῶσιν, Ἔνδοξε, καθοδηγῶν, θείαν καὶ ὑπέρλαμπρον, Χριστοῦ πανόλβιε.

Δοξαστικόν

Ἦχος βαρύς

Ἰδοὺ σκοτία καὶ πρωΐ, καὶ τί πρὸς τὸ μνημεῖον Μαρία ἔστηκας, πολὺ σκότος ἔχουσα ταῖς φρεσίν; ὑφ' οὗ ποῦ τέθειται ζητεῖς ὁ Ἰησοῦς. Ἀλλ' ὅρα τοὺς συντρέχοντας Μαθητάς, πῶς τοῖς ὀθονίοις καὶ τῷ σουδαρίῳ, τὴν Ἀνάστασιν ἐτεκμήραντο, καὶ ἀνεμνήσθησαν τῆς περὶ τούτου Γραφῆς. Μεθ' ὧν, καὶ δι' ὧν καὶ ἡμεῖς, πιστεύσαντες, ἀνυμνοῦμέν Σε τὸν ζωοδότην Χριστόν.

Die Welt feiert heute, Panteleimon, du Kämpfer, deine ehrwürdigen Wettkämpfe und preist den Lebensspender, der dich als glühenden Beschützer erwiesen hat.

Exaposteilarien

Zweiter Ton

Als Maria sprach, dass sie den Herrn genommen hätten, liefen Simon Petrus und der andere, in die Geheimnisse Christi Eingeweihte, den Er liebte, beide liefen sie und fanden drinnen nur die Linnen liegen, und das Schweißtuch des Hauptes. So blieben sie still, bis sie Christus sahen.

Ganteleimon, allweise, der heilige Glanz der ehrwürdigen Anargyren und der göttlichen Märtyrer, Ruhm der Christgläubigen, erflehe vom Himmel herab Siege für den König und Frieden für die Welt sowie Heil für diejenigen, die dich, Heiliger, gläubig preisen, indem du zusammen mit der Gottesgebärerin für alle Fürsprache einlegst.

Auferstehungsstichera

Sechster Ton

Dein Kreuz, Herr, ist Auferstehung und Leben für Dein Volk. Darauf vertrauend, singen wir Dir, unseren auferstandenen Gott: Erbarme Dich unser.

Mit dem Vater und dem Geist wollen wir Christus besingen, den von den Toten Auferstandenen, und zu Ihm wollen wir rufen: Du bist unser Leben und unsere Auferstehung, erbarme Dich unser!

Nachahmend die Barmherzigkeit Gottes, Panteleimon, wurdest du treffend benannt, indem du den Namen erhieltst, der zur Sache passt. Denn als Mitfühlender erbarmst du dich aller, indem du ihnen doppelte Heilung gewährst: Du nährst und heilst sie und führst sie, Ruhmreicher, zur göttlichen und überaus strahlenden Erkenntnis Christi, du überaus Seliger.

Doxastikon

Siebter Ton

Siehe, Nacht ist es und doch Morgen, was standest du am Grabmal, Maria, und hast deinen Sinn voller Dunkelheit? Du fragst, wohin sie Jesus gelegt haben. Aber zeige den herbeilaufenden Jüngern, wie Linnen und Schweißtuch die Auferstehung belegen, auf dass sie sich daran erinnen, was darüber in der Schrift geschrieben steht. Mit ihnen und durch sie glauben auch wir, wir preisen Dich, den lebenspendenden Christus.

Θεοτοκίον

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ἠχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα Σοι.

Theotokion

Hochgepriesen bist du, jungfräuliche Gottesgebärerin, denn durch den aus dir Geborenen wurde die Unterwelt gefangen genommen, Adam herausgerufen, der Fluch zunichte gemacht, Eva befreit und der Tod getötet, wir aber wurden mit Leben erfüllt. Deshalb singen wir und rufen: Gepriesen sei Christus unser Gott, dem es so wohlgefallen hat, Ehre sei Dir!

Ἀπολυτίκιον Ἀναστάσιμον

Ἦχος πλ. β΄

Ἀγγελικαὶ Δυνάμεις ἐπὶ τὸ μνῆμά Σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν, καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν Σου σῶμα. Ἐσκύλευσας τὸν Ἅιδην μὴ πειρασθεὶς ὑπ' αὐτοῦ, ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν, ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα Σοι.

Auferstehungsapolytikion

Sechster Ton

Engelsmächte waren an Deinem Grab und die Wächter waren wie erstorben. Und Maria stand im Grab und suchte Deinen makellosen Leib. Den Hades raubtest Du aus, und wurdest von ihm nicht überwältigt. Du bist der Jungfrau begegnet und hast das Leben geschenkt. Du von den Toten erstandener Herr, Ehre sei Dir!

Ἀπολυτίκιον τοῦ Ἁγίου.

Ἦχος. γ΄

Ἀθλοφόρε ἅγιε, καὶ ἰαματικὲ Παντελεῆμον, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Apolytikion des Heiligen

Dritter Ton

Heiliger Sieger und Heiler Panteleimon, bitte beim barmherzigen Gott, dass er unseren Seelen Vergebung der Sünden gewähre.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Ἦχος πλ. δ΄

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε, δόξα Σοι.

Apolytikion der Kirche

Achter Ton

Gepriesen bist Du, Christus unser Gott, zu Allweisen hast Du die Fischer gemacht, indem Du ihnen sandtest den Heiligen Geist. Du hast durch sie den Erdkreis eingefangen, Ehre sei Dir, Menschenliebender..

Κοντάκιον

Ἦχος βαρύς

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί Σου τὴν δόξαν Σου, Χριστὲ ὁ Θεὸς ἐθεάσαντο, ἵνα ὅταν Σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι Σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Kontakion

Siebter Ton

Auf dem Berg wurdest Du verklärt und die Jünger schauten Deine Herrlichkeit soweit sie es zu ertragen vermochten, auf dass sie, wenn sie Dich gekreuzigt sehen, das freiwillige Leiden zu erkennen vermögen, der Welt aber verkünden, dass Du in Wahrheit der Abglanz des Vaters bist.

Προκείμενον. Ἦχος πλ. β'

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ..
Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου

Prokeimenon. Sechster Ton

Der Gerechte wird sich freuen im Herrn.
Vers: Höre, Gott, auf meine Stimme.

Ἀποστολικὸν Ἀνάγνωσμα

Β' Τιμ. β' : 1-10

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ὃ λέγω· δώῃ γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυΐδ, κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος· ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.

Εὐαγγέλιον

Μτθ. θ΄: 27–35

Τῷ καιρῷ ἐκείνῳ παράγοντι τῷ Ἰησοῦ ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ κράζοντες καὶ λέγοντες · Ἐλέησον ἡμᾶς, υἱὲ Δαυΐδ. Ἐλθόντι δὲ εἰς τὴν οἰκίαν προσῆλθον Αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; λέγουσιν αὐτῷ· Ναί, Κύριε. Τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν λέγων· Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. Καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί· καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· Ὁρᾶτε μηδεὶς γινωσκέτω. Οἱ δὲ ἐξελθόντες διεφήμισαν Αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ. Αὐτῶν δὲ ἐξερχομένων ἰδοὺ προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον· καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ κωφός. Καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες· Οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. Οἱ δὲ Φαρισαῖοι ἔλεγον· Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ Εὐαγγέλιον τῆς Βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

Apostellesung

2. Timotheus 2:1-10

Mein Sohn Timotheus, werde stark in der Gnade, die in Christus Jesus ist. Und was du von mir durch viele Zeugen gehört hast, das vertraue treuen Menschen an, die fähig sind, auch andere zu lehren. Du aber ertrage Leid wie ein guter Soldat Jesu Christi. Niemand, der Kriegsdienst leistet, verstrickt sich in die Geschäfte des Lebens, damit er dem gefällt, der ihn angeworben hat. Und wenn jemand auch kämpft, wird er nicht gekrönt, wenn er nicht gesetzmäßig kämpft. Der arbeitende Landmann muss zuerst von den Früchten genießen. Verstehe, was ich sage; denn der Herr gebe dir Einsicht in allem. Denke an Jesus Christus, der aus den Toten auferweckt ist, aus dem Geschlecht Davids, nach meinem Evangelium, in dem ich Leid ertrage bis zu Fesseln wie ein Übeltäter; aber das Wort Gottes ist nicht gebunden. Darum ertrage ich alles um der Auserwählten willen, damit auch sie das Heil erlangen, das in Christus Jesus ist, mit ewiger Herrlichkeit."

Evangelium

Mt 9,27–35

In jener Zeit, als Jesus weiterging, folgten Ihm zwei Blinde und schrien: Hab Erbarmen mit uns, Sohn Davids! Nachdem Er ins Haus gegangen war, kamen die Blinden zu Ihm. Und Jesus sagte zu ihnen: Glaubt ihr, dass ich dies tun kann? Sie antworteten: Ja, Herr. Darauf berührte Er ihre Augen und sagte: Wie ihr geglaubt habt, so soll euch geschehen. Da wurden ihre Augen geöffnet. Jesus aber wies sie streng an: Nehmt euch in Acht! Niemand darf es erfahren. Doch sie gingen weg und erzählten von Ihm in der ganzen Gegend. Als sie gegangen waren, siehe, da brachte man einen Stummen zu Ihm, der von einem Dämon besessen war. Er trieb den Dämon aus und der Stumme konnte reden. Alle Leute staunten und sagten: So etwas ist in Israel noch nie gesehen worden. Die Pharisäer aber sagten: Mit Hilfe des Anführers der Dämonen treibt er die Dämonen aus. Jesus zog durch alle Städte und Dörfer, lehrte in ihren Synagogen, verkündete das Evangelium vom Reich und heilte alle Krankheiten und Leiden.

Ἡ Ἱερὰ Μητρόπολις Αὐστρίας σᾶς εὐχαριστεῖ γιὰ τὴν ἐνίσχυση τοῦ ἔργου της.
Die Metropolis von Austria dankt für Ihre großzügige Unterstützung.
Körperschaft des öffentlichen Rechts gemäß Gesetz 229/23 06.1967
Bankverbindung RLB NOE Wien AG – IBAN: AT67 3200 0000 0660 4771 – BIC: RLNATWW
www.metropolisvonaustria.at